**0345-0407 - Iohannes Chrysostomus - De fugienda simulata specie**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 121 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

De fugienda simulata specie

[00001] ΟΤΙ ΕΠΙΠΛΑΣΤΟΝ ΣΧΗΜΑ ΚΑΙ ΜΗ ΑΛΗΘΕΣ ΦΕΥΓΕΙΝ ΧΡΗ, ΟΜΙΛΙΑ.

48.1073

[00002] Πάλιν χρὴ μεταχειρίσασθαι ἡμᾶς τὴν εὐαγγελικὴν σάλπιγγα, καὶ τὴν τοῦ Κυρίου παραίνεσιν πρὸς ὑμᾶς ἐκφάναι·

[00003] Προσέχετε γὰρ, φησὶν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες·

[00004] ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

[00005] Ἐλέγχεται γὰρ, φησὶν, ἐπίπλαστον σχῆμα πανταχοῦ διὰ τῶν καθ' ἑκάστην πραττομένων·

[00006] ἀπὸ γὰρ τῆς προαιρέσεως αἱ πράξεις·

[00007] τὸ σεμνὸν σχῆμα τὴν προαίρεσιν οὐκ ἀλλάττει.

[00008] Ματαιόπονος οὖν παρὰ τοῖς σοφοῖς ὁ δολερὸς, τοῖς δυναμένοις αὐτὸν θηρᾶσαι διὰ τῶν καρπῶν, καὶ καταμαθεῖν ὅστις ὢν ὁποῖος φαίνεται.

[00009] Τί οὖν κρύπτεις ἐν ἀλλοτρίῳ σχήματι σαυτόν;

[00010] τί κατακρύπτεις τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον;

[00011] Ἐκφαίνει γάρ σε μικρὸν ὕστερον ἡ ἀλήθεια, καὶ φεύγων ἀλήθειαν ἁλώσῃ διὰ τῆς ἀληθείας.

[00012] Τί προβάλλῃ λόγους χρηστότητος, τὸ πικρὸν ἦθος κατακαλύπτων;

[00013] Οὐ λάθῃς πικρὸς ὢν, κἂν πάνυ γλυκὺς εἶναι προσποιήσῃ.

[00014] Τί φιλίας ὑποδύῃ σχῆμα πολέμιος ὤν;

[00015] Οὐκ ἐν σκότει ζῶμεν·

[00016] ἐκφαίνεται τὰ κρυπτὰ, καὶ διελέγχεται τὸ μῖσος, ὅπερ ἔκρυπτες.

[00017] Τί προσποιῇ τὴν φιλίαν;

[00018] τί κολακεύεις μὴ φιλῶν;

[00019] Μισητόν σου καὶ τὸ τῆς κολακείας γενήσεται, βλάβην ὡς παρὰ ἐχθροῦ φέρον, οὐκ ὠφέλειαν ὡς παρὰ φίλου.

[00020] Ἐπαινεῖς γὰρ καὶ τὰ φαῦλα κολακείας ἕνεκα·

[00021] οὐχ οὕτω δὲ ἀναίσθητος ὁ κολακευόμενος·

[00022] μισῆσαι γὰρ ὀφείλει τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπαινοῦντα.

[00023] Τί δικαίου χαρακτῆρα καὶ σώφρονος ἐπιμορφάζεις ἐν ἀδικήμασιν ὢν καὶ ἀκολασίαις διατελῶν;

[00024] τί καλύπτεις ὑπερηφανίαν σχήματι, καὶ ῥήματι ταπεινώσεως καὶ εὐλαβείας ὑποκρίνῃ τὸν φθόνον;

[00025] Οὐκ ἔστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν, ὃ οὐ γνωσθήσεται.

[00026] Μῶμος πονηρὸς ἀνθρώπου ψεῦδος·

[00027] φύγωμεν τὴν ἐπὶ τῷ ψεύδει διαβολήν·

[00028] μὴ ποιήσῃς ἄπιστον τῷ φίλῳ σεαυτὸν, ἵνα μὴ, καὶ ὅτε λαλεῖς ἀλήθειαν, οὐκ ἔτι πιστεύσῃ·

[00029] ὁ γὰρ ἐν ἑνὶ εὑρεθεὶς ψεύστης, οὐκ ἔτι ἐστὶν ἄξιος πιστευθῆναι, οὐδὲ ἂν ἀληθεύσῃ ποτέ.

[00030] Ὅτι τὸ λαλεῖν δίκαια, φησὶ, καὶ ἀληθεύειν, ἀρεστὸν Θεῷ μᾶλλον ἢ θυσιῶν αἷμα.

[00031] Δῶρον δεκτὸν Θεῷ προσοίσεις πίστιν καὶ ἀλήθειαν·

[00032] εὔκολον δὲ καὶ αὐτό σοι τὸ τὰ ὄντα λαλεῖν, καὶ μὴ τὰ μὴ ὄντα τεχνάζεσθαι.

[00033] Οὐ γὰρ κάμῃς βιαζόμενος τὸ ψεῦδος εἰς ἀλήθειαν, οὐδὲ ἀτονιάσῃς μηδὲν, λέγων ἐναντία σεαυτῷ, ὅτι μὴ σύμφωνος ὁ ψευδὴς λόγος πρὸς ἑαυτόν·

[00034] οὐκ αἰσχυνθήσῃ ψευσάμενος ἄλλους σὺ τὴν ἀλήθειαν φυλάττων·

[00035] ὅρκου πιστότερον τὸν λόγον οἱ φίλοι ἡγήσονται, καὶ πάσης ἐνόρκου μαρτυρίας ἰσχυρότερον τὸ ῥῆμα τὸ σὸν δικαίαν καὶ ἀναμφισβήτητον καταδέξεταί σου μαρτυρίαν·

[00036] ὁπότε μαρτυρήσεις παρελθὼν, δόξαν μὲν σεαυτῷ καλλίστην ἐπὶ τὴν ἀλήθειαν, σωτηρίαν δὲ κινδυνεύουσιν καὶ ἀδικουμένοις ὠφέλειαν ἐν δικαστηρίῳ προξενῶν.

[00037] Χείλη ἀληθινὰ, φησὶ, κατορθοῖ μαρτυρίαν ἀληθῆ·

[00038] ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος·

[00039] ὄψεταί σε δικαστὴς ἀσμένως ἀπαλλάττων τῆς περὶ [48.1074] τὴν δίκην ζητήσεως.

[00040] Ἀλλὰ γὰρ ἐπαινετὸν παρὰ Κυρίου τῆς ταπεινοφροσύνης τὸ κατόρθωμα, εἰ δυνηθῶμεν κατορθῶσαι.

[00041] Πολλοὶ μὲν οὖν κατορθώσαντές τι ἀγαθὸν, ἑαυτοὺς σμικρύνειν βούλονται παρὰ τὴν ἀλήθειαν, ψεύδεσθαι καθ' ἑαυτῶν βουλόμενοι μᾶλλον.

[00042] Ἐγὼ δέ σοι λέγω, πρὸς τὴν ἀλήθειαν ταπεινοφρόνησον, ἄνθρωπε·

[00043] εἰς ἀκοὰς Θεοῦ λάλει περὶ σεαυτοῦ ταπεινὰ, ὡς ὁ Ἀβραὰμ ἔλεγεν·

[00044] Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός·

[00045] ὡς Παῦλος ἔλεγεν·

[00046] Ἐγὼ δέ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ

[00047] Επιτρέπετα

[00048] Θεοῦ.

[00049] Πάλιν δὲ ἀληθεύων ἐπήγαγεν·

[00050] Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι.

[00051] Τούτων δὲ οὕτω πρὸς ἡμετέραν διδασκαλίαν προκειμένων πανταχόθεν, φύγωμεν τὸ ἐπίπλαστον σχῆμα.

[00052] Τί προσωπεῖα ἑαυτοῖς περιτιθέαμεν, μὴ ὄντες τοιοῦτοι οἵους ἑαυτοὺς ἐπιδεικνύομεν, τοὺς μὲν χιτῶνας μέχρι τῆς γῆς ἕλκοντες ἐν σχήματι ἁγίων, τὸν δὲ τρόπον ἠγριωμένοι, τῷ μὲν λόγῳ καὶ τῇ στολῇ ἅγιοι, τῇ δὲ γνώμῃ καὶ τοῖς ἔργοις ἀπάνθρωποι;

[00053] Στολισμὸς οὐκ εἰσάγει εἰς βασιλείαν οὐρανῶν, ἀλλ' ἔργα δικαιοσύνης.

[00054] Οὐχ οὕτως ὄψεται ἄνθρωπος ὡς ὄψεται Θεός·

[00055] ἄνθρωπος μὲν εἰς πρόσωπον ὄψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν·

[00056] Ἐτάζων γὰρ, φησὶν, καρδίας καὶ νεφροὺς ὁ Θεός·

[00057] ** καὶ διὰ τὸν ἐρχόμενον συναγαγεῖν τοὺς λογισμοὺς τῶν ἀνθρώπων·

[00058] Πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ·

[00059] Οὐκ ἔνι ἀποκρυβῆναι τῆς θέρμης αὐτοῦ.

[00060] Ἥξει καιρὸς ὅτε τὸ προσωπεῖον τοῦτο ῥίψας γυμνὸς εὑρεθήσῃ, καὶ τότε ἔσῃ αἰσχυνόμενος ὀφθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὡς ὁ Ἀδὰμ ἐκπεσών.

[00061] Ἐκεῖ γὰρ οὐκ ἔτι σχῆμα ζητεῖται, ἀλλὰ ἔργα.

[00062] Ὧδε μὲν γὰρ πολλάκις πλανῶμεν, καὶ διαφεύγομεν τὸν ἔλεγχον, καὶ διὰ τοῦ σεμνοῦ σχήματος φαινόμεθα ὡς δίκαιοι, καὶ πολλάκις μακαριζόμεθα·

[00063] ἐκεῖ δὲ οὐκ ἔτι ἔνι ψεύσασθαι·

[00064] ἐκεῖ τὰ ἔργα ζητεῖται, οὐκ ἔτι τὸ σεμνὸν σχῆμα·

[00065] μᾶλλον δὲ μείζονα τὴν κόλασιν καὶ τὸ κατάκριμα ἕξομεν, τὸ μὲν σχῆμα τὸ σεμνὸν φορέσαντες, τὰ δὲ ἔργα τοῦ σχήματος μὴ πονήσαντες.

[00066] Ἄκουε τοῦ Σωτῆρος περὶ Ἰουδαίων μὲν λέγοντος, πρὸς ἡμᾶς δὲ διδασκαλίαν προτείνοντος·

[00067] Πλατύνουσι γάρ, φησὶ, τὰ κράσπεδα, καὶ ἐν ταῖς πλατείαις προσεύχονται, ὅπως φανῶσι τοῖς ἀνθρώποις δίκαιοι·

[00068] οὗτοι δὲ λήψονται περισσότερον κρῖμα.

[00069] Ἐπιθυμεῖς τὸ σεμνὸν σχῆμα, καὶ τὸ ὄνομα τοῦ Χριστιανισμοῦ ἐπεπόθησας·

[00070] μὴ ἕως τούτου ἀπομείνῃς, ἀλλ' ὡς ὡμολόγησας Θεῷ, ἀπόδος τὴν ἐπαγγελίαν τῇ τῶν ἔργων ἐπιδείξει.

[00071] Τί προπετὴς εἶ εἰς τὴν ἐπαγγελίαν, μὴ ἔργοις βεβαιῶν αὐτήν;

[00072] Χρὴ οὖν καὶ εὔχεσθαι μετὰ ἀσφαλείας, καὶ ἀποδιδόναι τὸ χρέος τῆς ἐπαγγελίας μετὰ ἀκριβείας·

[00073] Εὔξασθε γὰρ καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν.

[00074] Ἁγνῇ πολιτείᾳ ὄφθητι αὐτῷ·

[00075] τουτέστι, σώματι καὶ πνεύματι καὶ ψυχῇ·

[00076] μή τι ὑφέλῃς τῆς ἐπαγγελίας, ἵνα μὴ πάθῃς τὰ Ἀνανίου καὶ Σαπφείφας.

[00077] Ἐκεῖνοι γὰρ νοσφισάμενοι ἐκ τῆς τοῦ ἐπαγγελθέντος κτήματος τιμῆς, [48.1075] θανάτῳ κατεδικάσθησαν·

[00078] καὶ ἡμᾶς χρὴ ταῦτα φοβεῖσθαι.

[00079] Δεῖ γὰρ εἰδέναι, καὶ μὴ ἀγνοεῖν, ὅτι ἃ ἐπαγγελλόμεθα τῷ Θεῷ, οὐκ ἔτι λοιπὸν ἡμῖν ἐστιν, ἀλλὰ Θεῷ διαφέρει.

[00080] Θεοῦ κειμήλιόν ἐστιν ἡ ἡμετέρα ἐπαγγελία·

[00081] καὶ ἐὰν ἀπὸ τούτων σύρωμεν, οὐκ ἔτι τὰ ἡμέτερά ἐσμεν λαμβάνοντες, ἀλλ' ὡς τὰ τοῦ Θεοῦ ἱεροσυλοῦντες κειμήλια, καὶ ὄντως ὡς ἱερόσυλοι κριθησόμεθα.

[00082] Ἡ δὲ ἐπαγγελία οὐ μόνον χρημάτων ἐστὶν, ἀλλὰ καὶ μέχρι λόγου καὶ προαιρέσεως·

[00083] Ὑπὲρ παντὸς, φησὶ, λόγου ἀργοῦ ἀποδώσεις λόγον ἐν ἡμέρᾳ κρίσεως.

[00084] Τὸ γὰρ θεῖον καὶ μέγα μυστήριον οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν ὑπόστασιν, ἀλλ' ἐπὶ προαιρέσει τελείᾳ καὶ τῇ κατὰ Θεὸν πίστει·

[00085] πάντες γὰρ ἐπηγγειλάμεθα, καὶ πάντες ἐπαγγελίας ἐσμὲν χρεῶσται.

[00086] Ὥστε ἀνάγκη ἀποδιδόναι τὴν μὲν παρθένον τὴν παρθενίαν, ὁποίαν καὶ ἐπηγγείλατο·

[00087] τὸν δὲ ἐγκρατῆ τὴν ἐγκράτειαν, τὸν δὲ ἐν γάμῳ τὴν σωφροσύνην, καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην.

[00088] Ἥτις γὰρ παρθενεύειν ἢ ἐγκρατεύεσθαι διὰ χηρείας ἐπαγγέλληται, ψεύσηται δὲ τὴν ἐπαγγελίαν, καὶ εἰς γάμον μετενεχθῇ, κρῖμα ἔχει, ὅτι τὴν πρώτην πίστιν ἠθέτησεν.

[00089] Εἰκότως δὲ καὶ ὁ πρεσβύτερος ὀφείλει ἀποδοῦναι τὴν ἱερωσύνην εὐάρεστον, καὶ ὁ διάκονος τὴν διακονίαν ἀμώμητον, μὴ κλοποφορῶν τὰ τῆς διακονίας, ἵνα μὴ κατακριθῇ ὡς ὁ Ἰούδας πωλῶν.

[00090] Πολλῆς οὖν ἀκριβείας ἐνταῦθα χρεία, μήπου τις ψεύσηται Θεὸν, μὴ ἀποδιδοὺς σώαν τὴν ἐπαγγελίαν, μᾶλλον δὲ τὴν παρακαταθήκην, ἥνπερ καὶ ἕκαστος ἡμῶν ἐπηγγειλάμεθα.

[00091] Οὐκ ἔτι ἡμέτερόν ἐστιν·

[00092] ἀλλ' οὕτως ὀφείλομεν

[00093] Επιτρέπετα

[00094] λογίζεσθαι, ὅτι παρακαταθήκην παρὰ Θεοῦ ἐλάβομεν, καὶ ἵνα μετὰ προσευχῆς φυλάξαντες ἀνόσφιστον τὸ ἐπάγγελμα παραστήσωμεν τῷ φοβερῷ βήματι Χριστοῦ, ἵνα μὴ ὡς ἀγνώμονας ἡμᾶς ἡ ἀπόφασις καταλάβῃ, κατὰ τὸ παράδειγμα Ἀνανίου.

[00095] Οὐκοῦν ἐνταῦθα πολλῆς ἀσφαλείας χρεία, μὴ ἔν τινι πταῖσαι, μηδὲ ὑφείλασθαι τῆς ἐπαγγελίας, ἀλλὰ μετὰ ἀκριβείας ἀποδοῦναι τὴν ἐπαγγελίαν σπουδάσωμεν.

[00096] Μὴ ἕως τοῦ σχήματος εἶναι νομίσωμεν τὸν Χριστιανισμὸν, μηδὲ τούτῳ τερπόμενοι ἐναπομείνωμεν, ἀλλὰ τῇ διὰ τῶν ἔργων βεβαιώσει ἀληθείας

καὶ δικαιοσύνης οἰκεῖοι διαμείναντες, τῶν ἑπομένων τῇ δικαιοσύνῃ τιμῶν τευξώμεθα παρὰ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

[00097] Ἀμήν.

[00098] Επιτρέπετα

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - De fugienda simulata specie**

**Litterarum Omnium Conspectus: 117 Litterae, quae repetitae sunt in 5,970 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 464 | Α | 0913 | 5 |
| β | 0946 | 28 | Β | 0914 | 0 |
| γ | 0947 | 126 | Γ | 0915 | 1 |
| δ | 0948 | 109 | Δ | 0916 | 0 |
| ε | 0949 | 356 | Ε | 0917 | 9 |
| ζ | 0950 | 11 | Ζ | 0918 | 0 |
| η | 0951 | 68 | Η | 0919 | 4 |
| θ | 0952 | 90 | Θ | 0920 | 19 |
| ι | 0953 | 306 | Ι | 0921 | 6 |
| κ | 0954 | 203 | Κ | 0922 | 4 |
| λ | 0955 | 198 | Λ | 0923 | 3 |
| μ | 0956 | 193 | Μ | 0924 | 7 |
| ν | 0957 | 453 | Ν | 0925 | 2 |
| ξ | 0958 | 13 | Ξ | 0926 | 0 |
| ο | 0959 | 337 | Ο | 0927 | 11 |
| π | 0960 | 202 | Π | 0928 | 10 |
| ρ | 0961 | 222 | Ρ | 0929 | 1 |
| ς | 0962 | 222 | • | 0930 | 0 |
| σ | 0963 | 219 | Σ | 0931 | 6 |
| τ | 0964 | 409 | Τ | 0932 | 11 |
| υ | 0965 | 78 | Υ | 0933 | 1 |
| φ | 0966 | 62 | Φ | 0934 | 1 |
| χ | 0967 | 53 | Χ | 0935 | 9 |
| ψ | 0968 | 18 | Ψ | 0936 | 0 |
| ω | 0969 | 62 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 0 | | | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| ῥ | 8165 | 3 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 58 | έ | 8051 | 52 | ή | 8053 | 47 | ί | 8055 | 110 | ό | 8057 | 60 | ύ | 8059 | 47 | ώ | 8061 | 19 |
| ὰ | 8048 | 64 | ὲ | 8050 | 37 | ὴ | 80852 | 52 | ὶ | 8054 | 76 | ὸ | 8056 | 70 | ὺ | 8058 | 10 | ὼ | 8060 | 4 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 35 | ῖ | 8150 | 38 | | | 0 | ῦ | 8166 | 42 | ῶ | 8182 | 36 |
| ἀ | 7936 | 75 | ἐ | 7952 | 71 | ἠ | 7968 | 2 | ἰ | 7984 | 23 | ὀ | 8000 | 5 | ὐ | 8016 | 39 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 8 | ἡ | 7969 | 16 | ἱ | 7985 | 6 | ὁ | 8001 | 16 | ὑ | 8017 | 11 | ὡ | 8033 | 13 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 2 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 3 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 29 | ἤ | 7972 | 0 | ἴ | 7988 | 0 | ὄ | 8004 | 10 | ὔ | 8020 | 3 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 2 | ἕ | 7957 | 6 | ἥ | 7973 | 1 | ἵ | 7989 | 7 | ὅ | 8005 | 11 | ὕ | 8021 | 5 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 3 | | | 0 | ὖ | 8022 | 5 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 1 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 20 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 9 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 1 | | | 0 | ῇ | 8135 | 13 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 17 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - De fugienda simulata specie**

**Verborum Omnium Conspectus: 614Verba, quae repetita sunt in 1,128,714 occasionibus**

---

ἃ [00079]
Ἀβραάμ [00043]
ἀγαθὸν [00041]
ἀγάπην [00087]
ἅγιοι [00052]
ἁγίων [00052]
Ἁγνὴ [00074]
ἀγνοεῖν [00079]
ἀγνώμονας [00094]
Ἀδὰμ [00060]
ἀδικήμασιν [00023]

**ἀδικουμένοις** [00036]
**ἀδίκων** [00038]
**αἱ** [00006]
**αἷμα** [00030]
**αἰσχυνθήσῃ** [00034]
**αἰσχυνόμενος** [00060]
**αἰῶνας** [00096]
**ἀκοὰς** [00043]
**ἀκολασίαις** [00023]
**Ἄκουε** [00066]
**ἀκριβείας** [00072] [00090] [00095]
**ἀλήθεια** [00011]
**ἀλήθειαν** [00011] [00028] [00031] [00033] [00034] [00036] [00041] [00042]
**ἀληθείας** [00011] [00096]
**ΑΛΗΘΕΣ** [00001]
**ἀληθεύειν** [00030]
**ἀληθεύσῃ** [00029]
**ἀληθεύων** [00049]
**ἀληθῆ** [00037]
**ἀληθινὰ** [00037]
**ἀλλ** [00053] [00070] [00081] [00084] [00092]
**ἀλλὰ** [00061] [00079] [00082] [00095] [00096]
**Ἀλλὰ** [00040]
**ἀλλάττει** [00007]
**ἀλλήλους** [00087]
**ἀλλοτρίῳ** [00009]
**ἄλλους** [00034]
**ἁλώσῃ** [00011]
**ἁμαρτήμασιν** [00022]
**Ἀμήν** [00097]
**ἀμώμητον** [00089]
**ἂν** [00029]
**ἀνάγκη** [00086]
**ἀναίσθητος** [00021]
**ἀναμφισβήτητον** [00035]
**Ἀνανίου** [00076] [00094]
**ἄνθρωπε** [00042]
**ἀνθρώποις** [00067]
**ἄνθρωπος** [00054] [00055]
**ἀνθρώπου** [00026]
**ἀνθρώπων** [00057]
**ἀνόσφιστον** [00094]
**ἄξιος** [00029]
**ἀπαλλάττων** [00039]
**ἀπάνθρωποι** [00052]
**ἄπιστον** [00028]
**ἀποδιδόναι** [00072] [00086]
**ἀποδιδοὺς** [00090]
**ἀπόδος** [00070]
**ἀπόδοτε** [00073]
**ἀποδοῦναι** [00089] [00095]
**ἀποδώσεις** [00083]
**ἀποκαλυφθήσεται** [00025]
**ἀποκρυβῆναι** [00059]
**ἀπομείνῃς** [00070]
**ἀπόστολος** [00046]
**ἀποστόλων** [00046]
**ἀπόφασις** [00094]
**ἀργοῦ** [00083]
**ἀρεστὸν** [00030]
**ἅρπαγες** [00003]
**ἀσμένως** [00039]
**ἀσφαλείας** [00072] [00095]
**ἀτονιάσῃς** [00033]
**αὐτήν** [00071]
**αὐτό** [00032]
**αὐτὸν** [00008]
**αὐτοῦ** [00058] [00059]
**αὐτούς** [00004]
**αὐτῷ** [00074]
**αὐτῶν** [00004]

**βασιλείαν** [00053]
**βεβαιῶν** [00071]
**βεβαιώσει** [00096]
**βήματι** [00094]
**βιαζόμενος** [00033]
**βλάβην** [00019]
**βουλόμενοι** [00041]
**βούλονται** [00041]

**γάμον** [00088]
**γάμῳ** [00087]
**γὰρ** [00003] [00005] [00006] [00020] [00022] [00029] [00033] [00040] [00056] [00058] [00061] [00062] [00067] [00073] [00077] [00079] [00084] [00085] [00088]
**γάρ** [00011]
**γενήσεται** [00019]
**γῆ** [00044]
**γῆς** [00052]
**γλυκὺς** [00013]
**γνώμῃ** [00052]
**γνωσθήσεται** [00025]
**γυμνὰ** [00058]
**γυμνὸς** [00060]

δὲ [00021] [00032] [00036] [00038] [00049] [00050] [00051] [00052] [00052] [00055] [00063] [00065] [00065] [00066] [00068] [00082] [00087] [00087] [00088] [00089] [00090]
δέ [00003] [00042] [00044] [00046]
Δεῖ [00079]
**δεκτὸν** [00031]
**διὰ** [00005] [00008] [00011] [00057] [00062] [00088] [00096]
**διαβολήν** [00027]
**διακονίαν** [00089]
**διακονίας** [00089]
**διάκονος** [00089]
**διαμείναντες** [00096]
**διατελῶν** [00023]
**διαφέρει** [00079]
**διαφεύγομεν** [00062]
**διδασκαλίαν** [00051] [00066]
**διελέγχεται** [00016]
**δίκαια** [00030]

**δικαίαν** [00035]
**δίκαιοι** [00062] [00067]
**δικαιοσύνη** [00096]
**δικαιοσύνης** [00053] [00096]
**δικαίου** [00023]
**δικαστηρίῳ** [00036]
**δικαστὴς** [00039]
**δίκην** [00039]
**διότι** [00046]
**δολερὸς** [00008]
**δόλιος** [00038]
**δόξα** [00096]
**δόξαν** [00036]
**δορᾷ** [00010]
**δυναμένοις** [00008]
**δυνηθῶμεν** [00040]
**Δῶρον** [00031]

**ἐὰν** [00081]
**ἑαυτοῖς** [00052]
**ἑαυτόν** [00033]
**ἑαυτοὺς** [00041] [00052]
**ἑαυτῶν** [00041]
**ἐγκράτειαν** [00087]
**ἐγκρατεύεσθαι** [00088]
**ἐγκρατῆ** [00087]
**Ἐγὼ** [00042] [00044] [00046]
**ἐδίωξα** [00046]
**εἰ** [00040]
**εἶ** [00071]
**εἰδέναι** [00079]
**Εἰκότως** [00089]
**εἰμὶ** [00046]
**εἰμι** [00044] [00046] [00050] [00050]
**εἶναι** [00013] [00096]
**εἰς** [00033] [00043] [00053] [00055] [00055] [00071] [00088] [00096]
**εἰσάγει** [00053]
**εἰσι** [00003]
**ἐκ** [00077]
**ἑκάστην** [00005]
**ἕκαστος** [00090]
**ἐκεῖ** [00063] [00064]
**Ἐκεῖ** [00061]
**Ἐκεῖνοι** [00077]
**Ἐκκλησίαν** [00046]
**ἐκπεσών** [00060]
**ἔκρυπτες** [00016]
**Ἐκφαίνει** [00011]
**ἐκφαίνεται** [00016]
**ἐκφάναι** [00002]
**ἐλάβομεν** [00094]
**ἐλάχιστος** [00046]
**ἔλεγεν** [00043] [00045]
**Ἐλέγχεται** [00005]
**ἔλεγχον** [00062]
**ἕλκοντες** [00052]
**ἐν** [00003] [00009] [00015] [00023] [00029] [00036] [00052] [00067] [00083] [00087]
**ἓν** [00095]
**ἐναντία** [00033]
**ἐναπομείνωμεν** [00096]
**ἐνδύμασι** [00003]
**ἕνεκα** [00020]
**ἑνὶ** [00029]
**ἔνι** [00059] [00063]
**ἐνόρκου** [00035]
**ἐνταῦθα** [00090] [00095]
**ἕξομεν** [00065]
**ἐπαγγελθέντος** [00077]
**ἐπαγγελία** [00080] [00082]
**ἐπαγγελίαν** [00070] [00071] [00088] [00090] [00095]
**ἐπαγγελίας** [00072] [00076] [00085] [00095]
**ἐπαγγέλληται** [00088]
**ἐπαγγελλόμεθα** [00079]
**ἐπάγγελμα** [00094]
**Ἐπαινεῖς** [00020]
**ἐπαινετὸν** [00040]
**ἐπαινοῦντα** [00022]
**ἐπεπόθησας** [00069]
**ἐπήγαγεν** [00049]
**ἐπηγγειλάμεθα** [00085] [00090]
**ἐπηγγείλατο** [00086]
**ἐπὶ** [00022] [00027] [00036] [00084] [00084]
**ἐπιγνώσεσθε** [00004]
**ἐπιδεικνύομεν** [00052]
**ἐπιδείξει** [00070]
**Ἐπιθυμεῖς** [00069]
**ἐπιμορφάζεις** [00023]
**ἐπίπλαστον** [00005] [00051]
**ΕΠΙΠΛΑΣΤΟΝ** [00001]
**Επιτρέπετα** [00047] [00093] [00098]
**ἑπομένων** [00096]
**ἔργα** [00053] [00061] [00064] [00065]
**ἔργοις** [00052] [00071]
**ἔργων** [00070] [00096]
**ἐρχόμενον** [00057]
**ἔρχονται** [00003]
**ἔσῃ** [00060]
**ἐσμὲν** [00085]
**ἐσμεν** [00081]
**ἔστι** [00025]
**ἐστὶν** [00029] [00082]
**ἐστιν** [00079] [00080] [00091]
**ἔσωθεν** [00003]
**Ἐτάζων** [00056]
**ἔτι** [00028] [00029] [00061] [00063] [00064] [00079] [00081] [00091]
**εὐαγγελικὴν** [00002]
**εὐάρεστον** [00089]
**εὔκολον** [00032]
**εὐλαβείας** [00024]
**Εὔξασθε** [00073]
**εὑρεθεὶς** [00029]
**εὑρεθήσῃ** [00060]
**εὔχεσθαι** [00072]
**ἔχει** [00084] [00088]

ἐχθροῦ [00019]
ἕως [00070] [00096]

ζητεῖται [00061] [00064]
ζητήσεως [00039]
ζῶμεν [00015]

ἡ [00011] [00080] [00094] [00096]
ἢ [00030] [00088]
Ἡ [00082]
ἡγήσονται [00035]
ἠγριωμένοι [00052]
ἠθέτησεν [00088]
ἦθος [00012]
ἡμᾶς [00002] [00066] [00078] [00094]
ἡμέρᾳ [00083]
ἡμετερά [00081]
ἡμετέρα [00080]
ἡμετέραν [00051]
ἡμέτερόν [00091]
ἡμῖν [00079]
ἡμῶν [00090]
ἥνπερ [00090]
Ἥξει [00060]
Ἥτις [00088]

θανάτῳ [00077]
θεῖον [00084]
Θεὸν [00084] [00090]
Θεὸς [00055]
Θεός [00054] [00056]
Θεοῦ [00043] [00048] [00050] [00060] [00080] [00081] [00094]
θέρμης [00059]
Θεῷ [00030] [00031] [00070] [00073] [00079] [00079]
θηρᾶσαι [00008]
θυσιῶν [00030]

ἱερόσυλοι [00081]
ἱεροσυλοῦντες [00081]
ἱερωσύνην [00089]
ἱκανὸς [00046]
ἵνα [00028] [00076] [00089] [00094] [00094]
Ἰουδαίων [00066]
Ἰούδας [00089]
ἰσχυρότερον [00035]

καθ [00005] [00041]
καιρὸς [00060]
καλεῖσθαι [00046]
καλλίστην [00036]
καλύπτεις [00024]
κάμης [00033]
κἂν [00013]
καρδίαν [00055]
καρδίας [00056]
καρπῶν [00004] [00008]
καταδέξεταί [00035]
κατακαλύπτων [00012]
κατακριθῇ [00089]
κατάκριμα [00065]
κατακρύπτεις [00010]
καταλάβῃ [00094]
καταμαθεῖν [00008]
κατεδικάσθησαν [00077]
κατορθοῖ [00037]
κατόρθωμα [00040]
κατορθῶσαι [00040]
κατορθώσαντές [00041]
κειμήλια [00081]
κειμήλιόν [00080]
κεκαλυμμένον [00025]
κινδυνεύουσιν [00036]
κλοποφορῶν [00089]
κολακείας [00019] [00020]
κολακεύεις [00018]
κολακευόμενος [00021]
κόλασιν [00065]
κράσπεδα [00067]
κριθησόμεθα [00081]
κρῖμα [00068] [00088]
κρίσεως [00083]
κρυπτὰ [00016]
κρύπτεις [00009]
κρυπτὸν [00025]
κτήματος [00077]
Κυρίου [00002] [00040]
Κυρίῳ [00073]

λάθης [00013]
λάλει [00043]
λαλεῖν [00030] [00032]
λαλεῖς [00028]
λαμβάνοντες [00081]
λέγοντος [00066]
λέγω [00042]
λέγων [00033]
λήψονται [00068]
λογίζεσθαι [00094]
λογισμοὺς [00057]
λόγον [00035] [00083]
λόγος [00033]
λόγου [00082] [00083]
λόγους [00012]
λόγῳ [00052]
λοιπὸν [00079]

**λύκοι** [00003]
**λύκον** [00010]

**μακαριζόμεθα** [00062]
**μᾶλλον** [00030] [00041] [00065] [00090]
**μαρτυρήσεις** [00036]
**μαρτυρίαν** [00035] [00037]
**μαρτυρίας** [00035]
**μάρτυς** [00038]
**Ματαιόπονος** [00008]
**μέγα** [00084]
**μείζονα** [00065]
**μὲν** [00036] [00041] [00052] [00052] [00055] [00062] [00065] [00066] [00086]
**μεταχειρίσασθαι** [00002]
**μετενεχθῇ** [00088]
**μέχρι** [00052] [00082]
**μηδὲ** [00095] [00096]
**μηδὲν** [00033]
**μήπου** [00090]
**μικρὸν** [00011]
**μισῆσαι** [00022]
**Μισητόν** [00019]
**μῖσος** [00016]
**μόνον** [00082]
**μυστήριον** [00084]
**Μῶμος** [00026]

**νεφροὺς** [00056]
**νομίσωμεν** [00096]
**νοσφισάμενοι** [00077]

**ὁ** [00008] [00021] [00029] [00033] [00038] [00043] [00046] [00055] [00056] [00060] [00089] [00089] [00089]
**ὃ** [00025] [00025]
**ὅ** [00050]
**οἱ** [00035]
**οἰκεῖοι** [00096]
**οἵους** [00052]
**οἵτινες** [00003]
**ΟΜΙΛΙΑ** [00001]
**ὄνομα** [00069]
**ὄντα** [00032] [00032]
**ὄντες** [00052]
**ὄντως** [00081]
**ὅπερ** [00016]
**ὁποίαν** [00086]
**ὁποῖος** [00008]
**ὁπότε** [00036]
**ὅπως** [00067]
**ὅρκου** [00035]
**ὃς** [00046]
**ὅστις** [00008]
**ὅτε** [00028] [00060]
**ὅτι** [00033] [00079] [00088] [00094]
**Ὅτι** [00030]
**ΟΤΙ** [00001]
**Οὐ** [00013] [00033]
**οὐ** [00025] [00082]
**οὐδὲ** [00029] [00033]
**Οὐκ** [00015] [00025] [00059] [00091]
**οὐκ** [00007] [00019] [00025] [00028] [00029] [00034] [00046] [00053] [00061] [00063] [00064] [00079] [00081] [00084]
**Οὐκοῦν** [00095]
**οὖν** [00008] [00009] [00041] [00072] [00090]
**οὐρανῶν** [00053]
**οὗτοι** [00068]
**οὕτω** [00021] [00051]
**οὕτως** [00054] [00092]
**Οὐχ** [00054]
**οὐχ** [00021]
**ὀφείλει** [00022] [00089]
**ὀφείλομεν** [00092]
**ὀφθαλμοῖς** [00058]
**ὀφθῆναι** [00060]
**ὄφθητι** [00074]
**ὄψεταί** [00039]
**ὄψεται** [00054] [00054] [00055]

**πάθης** [00076]
**Πάλιν** [00002] [00049]
**Πάντα** [00058]
**πανταχόθεν** [00051]
**πανταχοῦ** [00005]
**πάντες** [00085] [00085]
**παντὸς** [00083]
**πάνυ** [00013]
**παρὰ** [00008] [00019] [00019] [00040] [00041] [00094] [00096]
**παράδειγμα** [00094]
**παραίνεσιν** [00002]
**παρακαταθήκην** [00090] [00094]
**παραστήσωμεν** [00094]
**παρελθὼν** [00036]
**παρθενεύειν** [00088]
**παρθενίαν** [00086]
**παρθένον** [00086]
**πάσης** [00035]
**Παῦλος** [00045]
**περὶ** [00039] [00043] [00066]
**περισσότερον** [00068]
**περιτιθέαμεν** [00052]
**πικρὸν** [00012]
**πικρὸς** [00013]
**πίστει** [00084]
**πιστευθῆναι** [00029]
**πιστεύσῃ** [00028]
**πίστιν** [00031] [00088]
**πιστότερον** [00035]
**πλανῶμεν** [00062]
**πλατείαις** [00067]
**Πλατύνουσι** [00067]

**πνεύματι** [00075]
**ποιήσης** [00028]
**πολέμιος** [00014]
**πολιτείᾳ** [00074]
**πολλάκις** [00062] [00062]
**Πολλῆς** [00090]
**πολλῆς** [00095]
**Πολλοὶ** [00041]
**πονηρὸς** [00026]
**πονήσαντες** [00065]
**ποτέ** [00029]
**πράξεις** [00006]
**πραττομένων** [00005]
**πρεσβύτερος** [00089]
**προαιρέσει** [00084]
**προαιρέσεως** [00006] [00082]
**προαίρεσιν** [00007]
**προβάλλῃ** [00012]
**προβάτου** [00010]
**προβάτων** [00003]
**προκειμένων** [00051]
**προξενῶν** [00036]
**προπετὴς** [00071]
**πρὸς** [00002] [00003] [00033] [00042] [00051] [00066] [00087]
**προσευχῆς** [00094]
**προσεύχονται** [00067]
**Προσέχετε** [00003]
**προσοίσεις** [00031]
**προσποιῇ** [00017]
**προσποιήσῃ** [00013]
**προσωπεῖα** [00052]
**προσωπεῖον** [00060]
**πρόσωπον** [00055]
**προσώπῳ** [00060]
**προτείνοντος** [00066]
**πρώτην** [00088]
**πταῖσαι** [00095]
**πωλῶν** [00089]

**ῥῆμα** [00035]
**ῥήματι** [00024]
**ῥίψας** [00060]

**σάλπιγγα** [00002]
**Σαπφείφας** [00076]
**σαυτόν** [00009]
**σε** [00011] [00039]
**σεαυτὸν** [00028]
**σεαυτοῦ** [00043]
**σεαυτῷ** [00033] [00036]
**σεμνὸν** [00007] [00064] [00065] [00069]
**σεμνοῦ** [00062]
**σκότει** [00015]
**σμικρύνειν** [00041]
**σοι** [00032] [00042]
**σὸν** [00035]
**σου** [00019] [00035]
**σοφοῖς** [00008]
**σποδός** [00044]
**σπουδάσωμεν** [00095]
**στολῇ** [00052]
**Στολισμὸς** [00053]
**σὺ** [00034]
**σύμφωνος** [00033]
**συναγαγεῖν** [00057]
**σύρωμεν** [00081]
**ΣΧΗΜΑ** [00001]
**σχῆμα** [00005] [00007] [00014] [00051] [00061] [00064] [00065] [00069]
**σχήματι** [00009] [00024] [00052]
**σχήματος** [00062] [00065] [00096]
**σώαν** [00090]
**σώματι** [00075]
**σωτηρίαν** [00036]
**Σωτῆρος** [00066]
**σώφρονος** [00023]
**σωφροσύνην** [00087]

**τὰ** [00016] [00020] [00032] [00032] [00064] [00065] [00067] [00076] [00081] [00081] [00089]
**ταῖς** [00067]
**ταπεινὰ** [00043]
**ταπεινοφρόνησον** [00042]
**ταπεινοφροσύνης** [00040]
**ταπεινώσεως** [00024]
**ταῦτα** [00078]
**τελείᾳ** [00084]
**τερπόμενοι** [00096]
**τετραχηλισμένα** [00058]
**τευξώμεθα** [00096]
**τεχνάζεσθαι** [00032]
**τῇ** [00010] [00052] [00052] [00070] [00084] [00096] [00096]
**τὴν** [00002] [00002] [00007] [00017] [00027] [00034] [00036] [00039] [00041] [00042] [00046] [00065] [00070] [00071] [00084] [00086] [00086] [00087] [00087] [00087] [00088] [00088] [00089] [00089] [00090] [00090] [00095]
**τῆς** [00006] [00011] [00019] [00039] [00040] [00052] [00059] [00072] [00076] [00077] [00089] [00095]
**Τί** [00009] [00012] [00014] [00017] [00023] [00052] [00071]
**τί** [00010] [00018] [00024]
**τι** [00041] [00076]
**τιμῆς** [00077]
**τιμῶν** [00096]
**τινι** [00095]
**τις** [00090]
**Τὸ** [00084]
**τὸ** [00007] [00012] [00016] [00019] [00030] [00032] [00033] [00035] [00035] [00040] [00051] [00060] [00064] [00065] [00065] [00065] [00069] [00069] [00072] [00094] [00094]
**τοιοῦτοι** [00052]
**τοῖς** [00008] [00008] [00022] [00052] [00058] [00067]
**τὸν** [00010] [00022] [00024] [00035] [00052] [00057] [00062] [00087] [00087] [00096]
**τότε** [00060]
**τοῦ** [00002] [00010] [00046] [00060] [00062] [00065] [00066] [00069] [00077] [00081] [00096]
**τοὺς** [00052] [00057] [00096]
**τουτέστι** [00075]
**τοῦτο** [00060]

**τούτου** [00070]
**τούτῳ** [00096]
**Τούτων** [00051]
**τούτων** [00081]
**τρόπον** [00052]
**τῷ** [00027] [00028] [00052] [00060] [00073] [00079] [00094]
**τῶν** [00003] [00004] [00005] [00008] [00038] [00046] [00057] [00070] [00096] [00096]

**ὑμᾶς** [00002] [00003]
**ὑμῶν** [00073]
**Ὑπὲρ** [00083]
**ὑπερηφανίαν** [00024]
**ὑποδύῃ** [00014]
**ὑποκρίνῃ** [00024]
**ὑπόστασιν** [00084]
**ὕστερον** [00011]
**ὑφείλασθαι** [00095]
**ὑφέλῃς** [00076]

**φαίνεται** [00008]
**φαινόμεθα** [00062]
**φανῶσι** [00067]
**φαῦλα** [00020]
**φέρον** [00019]
**ΦΕΥΓΕΙΝ** [00001]
**φεύγων** [00011]
**φησὶ** [00030] [00037] [00067] [00083]
**φησὶν** [00003] [00005] [00056]
**φθόνον** [00024]
**φιλίαν** [00017]
**φιλίας** [00014]
**φίλοι** [00035]
**φίλου** [00019]
**φίλῳ** [00028]
**φιλῶν** [00018]
**φοβεῖσθαι** [00078]
**φοβερῷ** [00094]
**φορέσαντες** [00065]
**φύγωμεν** [00027] [00051]
**φυλάξαντες** [00094]
**φυλάττων** [00034]

**χαρακτῆρα** [00023]
**Χάριτι** [00050]
**Χείλη** [00037]
**χηρείας** [00088]
**χιτῶνας** [00052]
**χρεία** [00090] [00095]
**χρέος** [00072]
**χρεῶσται** [00085]
**ΧΡΗ** [00001]
**Χρὴ** [00072]
**χρὴ** [00002] [00078]
**χρήμασιν** [00084]
**χρημάτων** [00082]
**χρηστότητος** [00012]
**Χριστιανισμὸν** [00096]
**Χριστιανισμοῦ** [00069]
**Χριστοῦ** [00094] [00096]

**ψεύδει** [00027]
**ψεύδεσθαι** [00041]
**ψευδὴς** [00033]
**ψευδοπροφητῶν** [00003]
**ψεῦδος** [00026] [00033]
**ψευσάμενος** [00034]
**ψεύσασθαι** [00063]
**ψεύσηται** [00088] [00090]
**ψεύστης** [00029]
**ψυχῇ** [00075]

**ᾧ** [00096]
**Ὧδε** [00062]
**ὡμολόγησας** [00070]
**ὧν** [00008] [00013] [00023]
**ὢν** [00014]
**ὡς** [00019] [00019] [00043] [00045] [00054] [00060] [00062] [00070] [00081] [00081] [00089] [00094]
**Ὥστε** [00086]
**ὠφέλειαν** [00019] [00036]